# ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ

*Salutation*

1 Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ* διὰ
θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός,
2 τοῖς ἐν Κολοσσαῖς† ἁγίοις καὶ πιστοῖς
ἀδελφοῖς ἐν Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη
ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ
Χριστοῦ.‡

*Building rapport*

3 Εὐχαριστοῦμεν τῷ Θεῷ καὶ§ Πατρὶ τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε περὶ
ὑμῶν προσευχόμενοι 4 (ἀκούσαντες τὴν
πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ καὶ τὴν ἀγάπην
τὴν* εἰς πάντας τοὺς ἁγίους), 5 διὰ τὴν ἐλπίδα
τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς,
ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας
6 (τοῦ εὐαγγελίου τοῦ παρόντος εἰς ὑμᾶς
καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ, καὶ† ἔστιν
καρποφορούμενον καὶ αὐξανόμενον‡ καθὼς

---

* **1:1** ιησου χριστου **f**35 [95%] RP,HF,OC,TR,CP ¦ 21 𝔓46אA,B [5%] NU † **1:2** κολοσσαις **f**35 אB [60%] CP,NU ¦ κολασσαις (𝔓46A)I [40%] RP,HF,OC,TR ‡ **1:2** και κυριου ιησου χριστου **f**35 אA,C,I [80%] RP,HF,OC,TR,CP ¦ — B [20%] NU § **1:3** και **f**35 אA,I [98%] RP,HF,OC,TR,CP ¦ — B,C [2%] NU * **1:4** την **f**35 (86.7%) RP,HF,OC,TR,CP ¦ ην εχετε אA,C (11.4%) NU ¦ ην εχεται (1.2%) ¦ — B (0.7%) † **1:6** και **f**35 [95%] RP,HF,OC,TR,CP ¦ — 𝔓46אA,B,C [5%] NU ‡ **1:6** και αυξανομενον **f**35 אA,B,C (48%) RP,HF,OC,CP,NU ¦ — (52%) TR (The omission could be an easy case of homoioteleuton.)

καὶ ἐν ὑμῖν, ἀφ᾽ ἧς ἡμέρας ἠκούσατε καὶ
ἐπέγνωτε τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ),
7 καθὼς καὶ§ ἐμάθετε ἀπὸ Ἐπαφρᾶ, τοῦ
ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστιν πιστὸς
ὑπὲρ ὑμῶν* διάκονος τοῦ Χριστοῦ, 8 ὁ καὶ
δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι.

# Christ preeminent

### *Walk worthily of the Lord*

9 Διὰ τοῦτο καὶ ἡμεῖς, ἀφ᾽ ἧς ἡμέρας
ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν
προσευχόμενοι καὶ αἰτούμενοι ἵνα πληρωθῆτε
τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν
πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ,
10 περιπατῆσαι ὑμᾶς† ἀξίως τοῦ Κυρίου εἰς
πᾶσαν ἀρέσκειαν,‡ ἐν παντὶ ἔργῳ ἀγαθῷ
καρποφοροῦντες καὶ αὐξανόμενοι εἰς τὴν
ἐπίγνωσιν§ τοῦ Θεοῦ· 11 ἐν πάσῃ δυνάμει
δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης
αὐτοῦ, εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν·
12 μετὰ χαρᾶς εὐχαριστοῦντες τῷ* Πατρὶ τῷ
ἱκανώσαντι ἡμᾶς† εἰς τὴν μερίδα τοῦ κλήρου

---

§ **1:7** και **f**35 [95%] RP,HF,OC,TR ¦ — 𝔓46ℵA,B,C [5%] CP,NU
* **1:7** υμων **f**35 C [90%] RP,HF,OC,TR,CP,NU ¦ ημων 𝔓46ℵA,B [10%] † **1:10** υμας **f**35 [95%] RP,HF,OC,TR,CP ¦ — 𝔓46ℵA,B,C [5%] NU ‡ **1:10** αρεσκειαν *rell* ¦ αρεσκιαν ℵA,C [15%] § **1:10** εις την επιγνωσιν **f**35 (90.5%) RP,HF,OC,TR,CP ¦ τη επιγνωσει 𝔓46ℵA,B,C,I (4.6%) NU ¦ εν τη επιγνωσει (4.1%) ¦ three other readings (0.7%) * **1:12** τω **f**35 𝔓46A,B,C [65%] RP,HF,TR,NU ¦ 1 θεω και [30%] OC,CP ¦ 1 θεω ℵ [5%] (OC has small print.)
† **1:12** ημας **f**35 A,C [97%] RP,HF,OC,TR,CP ¦ υμας ℵB [3%] NU (The context is inclusive—first person.)

τῶν ἁγίων ἐν τῷ φωτί· 13 ὃς ἐρρύσατο ἡμᾶς
ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν
εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ,
14 ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ
αἵματος αὐτοῦ,‡ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν.

### *The supremacy of Christ described*

15 Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου,
πρωτότοκος πάσης§ κτίσεως, 16 ὅτι ἐν αὐτῷ
ἐκτίσθη τὰ πάντα—τὰ* ἐν τοῖς οὐρανοῖς καὶ
τὰ† ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα,
εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε
ἐξουσίαι—τὰ πάντα δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν
ἔκτισται· 17 καὶ αὐτός ἐστιν πρὸ πάντων, καὶ
τὰ πάντα ἐν αὐτῷ συνέστηκεν. 18 Καί, αὐτός
ἐστιν ἡ ‡ κεφαλὴ τοῦ σώματος, τῆς ἐκκλησίας·
ὅς ἐστιν ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα
γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων, 19 ὅτι ἐν
αὐτῷ εὐδόκησεν§ πᾶν τὸ πλήρωμα κατοικῆσαι
20 καὶ δι᾽ αὐτοῦ ἀποκαταλλάξαι τὰ* πάντα
εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ
σταυροῦ αὐτοῦ—δι᾽ αὐτοῦ,† εἴτε τὰ ἐπὶ τῆς γῆς

---

‡ **1:14** δια του αιματος αυτου **f**35 [60%] TR ¦ — אA,B,C [40%] RP,HF,OC,CP,NU (The omission was presumably deliberate—one wonders why.) § **1:15** πασης *rell* ¦ 1 της [10%] * **1:16** τα **f**35 A,C [97%] RP,HF,OC,TR,CP ¦ — 𝔭46אB [3%] NU † **1:16** τα **f**35 A,C [97%] RP,HF,OC,TR,CP ¦ — 𝔭46אB [3%] NU ‡ **1:18** η *rell* ¦ — [2%] CP § **1:19** ευδοκησεν *rell* ¦ ηυδοκησεν A [15%] * **1:20** τα *rell* ¦ — CP † **1:20** δι αυτου **f**35 𝔭46אA,C,048 [80%] RP,HF,OC,TR,CP[NU] ¦ — B,I [20%] (The omission of the emphatic repetition is surely inferior.)

εἴτε τὰ ἐπὶ‡ τοῖς οὐρανοῖς.

*The truth applied*

21 Καὶ ὑμᾶς (ποτὲ ὄντας ἀπηλλοτριωμένους
καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις
τοῖς πονηροῖς) 22 νυνὶ δὲ ἀποκατήλλαξεν
ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ
τοῦ θανάτου αὐτοῦ,§ παραστῆσαι ὑμᾶς
ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους
κατενώπιον αὐτοῦ— 23 εἴ γε ἐπιμένετε τῇ
πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι, καὶ
μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ
εὐαγγελίου, οὗ ἠκούσατε τοῦ κηρυχθέντος
ἐν πάσῃ τῇ* κτίσει τῇ ὑπὸ τὸν οὐρανόν, οὗ
ἐγενόμην ἐγώ, Παῦλος, διάκονος.

# What Paul does and why he does it

*Present everyone perfect in Christ*

24 Νῦν χαίρω ἐν τοῖς παθήμασίν μου† ὑπὲρ
ὑμῶν καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν
θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου,
ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ‡ ἐστιν ἡ
ἐκκλησία, 25 ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ
τὴν οἰκονομίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι

‡ **1:20** επι **f35** [50%] RP,HF,CP ¦ εν אA,B,C [50%] OC,TR,NU (The change to 'in' may have been unthinking, but is clearly inferior—beings and things that are an inherent part of Heaven don't need 'reconciling'.) § **1:22** αυτου **f35** אA [40%] ¦ — 𝔭46vB,C,Iv [60%] RP,HF,OC,TR,CP,NU * **1:23** τη **f35** [95%] RP,HF,OC,TR,CP ¦ — 𝔭46אA,B,C [5%] NU † **1:24** μου **f35** [55%] OC,TR ¦ — אA,B,C [45%] RP,HF,CP,NU (OC has small print.) ‡ **1:24** ο *rell* ¦ ος C [10%]

εἰς ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ,
26 τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ
τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ§ δὲ
ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ· 27 οἷς ἠθέλησεν
ὁ Θεὸς γνωρίσαι τίς ὁ * πλοῦτος τῆς δόξης
τοῦ† μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς‡
ἐστιν Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης· 28 ὃν
ἡμεῖς καταγγέλλομεν, νουθετοῦντες πάντα
ἄνθρωπον καὶ διδάσκοντες πάντα ἄνθρωπον§
ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα
ἄνθρωπον* τέλειον† ἐν Χριστῷ·‡ 29 εἰς ὃ καὶ
κοπιῶ, ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν
αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.

# 2

*A wealth of confident understanding*

1 Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα
ἔχω περὶ* ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ,† καὶ

---

§ **1:26** νυνι **f**35 A [90%] RP,HF,OC,TR,CP ¦ νυν ℵB,C [10%] NU * **1:27** τις ο **f**35 ℵC [40%] OC,TR ¦ τι το 𝔓46A,B [60%] RP,HF,CP,NU (In the context the masculine gender is correct—𝔓46A,B [4%] NU are consistent in that they go on to read ὅ εστιν Χριστος, but not the [56%] RP,HF,CP.) † **1:27** του *rell* ¦ — CP ‡ **1:27** ος **f**35 ℵC,I [96%] RP,HF,OC,TR,CP ¦ ο 𝔓46A,B [4%] NU § **1:28** παντα ανθρωπον *rell* ¦ — [10%] CP * **1:28** παντα ανθρωπον **f**35 ℵA,B,C [90%] RP,HF,OC,TR,CP,NU ¦ — [10%] † **1:28** τελειον *rell* ¦ — CP ‡ **1:28** χριστω **f**35 𝔓46ℵA,B,C [40%] NU ¦ 1 ιησου [60%] RP,HF,OC,TR,CP * **2:1** περι **f**35 [93%] RP,HF,OC,TR,CP ¦ υπερ 𝔓46ℵA,B,C [7%] NU † **2:1** λαοδικεια *rell* ¦ λαοδικια ℵA,B,C [10%]

ὅσοι οὐχ ἑωράκασιν‡ τὸ πρόσωπόν μου ἐν
σαρκί, 2 ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν,
συμβιβασθέντων§ ἐν ἀγάπῃ καὶ εἰς πάντα
πλοῦτον* τῆς πληροφορίας τῆς συνέσεως,
εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ καὶ
Πατρὸς καὶ τοῦ† Χριστοῦ, 3 ἐν ᾧ εἰσιν πάντες
οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς‡ γνώσεως
ἀπόκρυφοι.
4 Τοῦτο δὲ§ λέγω ἵνα μή τις* ὑμᾶς
παραλογίζηται ἐν πιθανολογίᾳ.† 5 Εἰ γὰρ
καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν
ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν
καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως
ὑμῶν.

# Christian responsibility

6 Ὡς οὖν παρελάβετε τὸν Χριστόν, Ἰησοῦν τὸν
Κύριον, ἐν αὐτῷ περιπατεῖτε, 7 ἐρριζωμένοι
καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ καὶ

---

‡ **2:1** εωρακασιν **f**$^{35}$ [85%] RP,HF,OC,TR,CP ¦ εορακασιν [10%] ¦ εωρακαν A,B [2%] ¦ εορακαν 𝔓$^{46}$אC [3%] NU § **2:2** συμβιβασθεντων **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ συμβιβασθεντες (𝔓$^{46}$)אA,B(C) [4%] NU ¦ συμβιβασθωσιν [1%] * **2:2** παντα πλουτον **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ παν πλουτος 𝔓$^{46}$אB [3%] NU ¦ παν το πλουτος A,C [2%] † **2:2** και πατρος και του **f**$^{35}$ (79.6%) RP,HF,OC,TR,CP ¦ 124 (12.9%) ¦ 234 (1.8%) ¦ 123 (0.7%) ¦ 24 A,C (0.7%) ¦ 23 (0.2%) ¦ 2 א,048 (0.3%) ¦ — 𝔓$^{46}$B (3%) NU ¦ five other readings (0.8%) ‡ **2:3** της **f**$^{35}$ A [95%] RP,HF,OC,TR,CP ¦ — 𝔓$^{46}$אB,C [5%] NU § **2:4** δε **f**$^{35}$ C,048 [95%] RP,HF,OC,TR,CP ¦ — 𝔓$^{46}$אA,B [5%] NU * **2:4** μη τις **f**$^{35}$ [95%] RP,HF,OC,TR,CP ¦ μηδεις אA,B,C,048 [5%] NU † **2:4** πιθανολογια *rell* ¦ πειθανολογια [2%] CP

βεβαιούμενοι ἐν τῇ‡ πίστει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ§ ἐν εὐχαριστίᾳ.

### *Christ vs 'the world'*

8 Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν
διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ
τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ
στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν.
9 Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ Πλήρωμα
τῆς Θεότητος σωματικῶς, 10 καὶ ἐστὲ ἐν
αὐτῷ πεπληρωμένοι ὅς ἐστιν ἡ κεφαλὴ πάσης
ἀρχῆς καὶ ἐξουσίας· 11 ἐν ᾧ καὶ περιετμήθητε,
περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ
σώματος τῶν ἁμαρτιῶν* τῆς σαρκός, ἐν τῇ
περιτομῇ τοῦ Χριστοῦ, 12 συνταφέντες αὐτῷ
ἐν τῷ βαπτίσματι·† ἐν ᾧ καὶ συνηγέρθητε
διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ
ἐγείραντος αὐτὸν ἐκ τῶν‡ νεκρῶν.
13 Καὶ ὑμᾶς, νεκροὺς ὄντας§ τοῖς
παραπτώμασιν καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς
ὑμῶν—συνεζωοποίησεν ὑμᾶς* σὺν αὐτῷ·

---

‡ **2:7** εν τη **f**35 ℵ [95%] RP,HF,OC,TR,CP ¦ 1 A,C,I [2%] ¦ 2 B [3%] NU § **2:7** εν αυτη **f**35 B,048V [95%] RP,HF,OC,TR,CP ¦ — ℵA,C,IV [4%] NU ¦ 1 αυτω D [1%] * **2:11** των αμαρτιων **f**35 (92.5%) RP,HF,OC,TR,CP ¦ — 𝔭46ℵA,B,C (7%) NU ¦ omit longer stretches (0.5%) (Would not 'the body of the flesh', the reading of NU, be something of a tautology?) † **2:12** βαπτισματι **f**35 ℵA,C [95%] RP,HF,OC,TR,CP ¦ βαπτισμω 𝔭46B [2%] NU ‡ **2:12** των **f**35 B [70%] RP,HF,OC,TR ¦ — 𝔭46ℵA,C [30%] CP,NU § **2:13** οντας **f**35 ℵB [45%] ¦ 1 εν 𝔭46A,C,048 [55%] RP,HF,OC,TR,CP[NU] (OC is in small print.) * **2:13** υμας **f**35 ℵA,C [65%] RP,HF,OC,CP,NU ¦ ημας 𝔭46B [20%] ¦ — [15%] TR

χαρισάμενος ἡμῖν† πάντα τὰ παραπτώματα·
14 ἐξαλείψας τὸ καθ᾽ ἡμῶν χειρόγραφον (τοῖς
δόγμασιν) ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ
ἦρκεν‡ ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ τῷ
σταυρῷ· 15 ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ
τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παρρησίᾳ,
θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ.

### *Don't be disqualified!*

16 Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ §
ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς ἢ νουμηνίας* ἢ
σαββάτων, 17 ἅ ἐστιν σκιὰ τῶν μελλόντων,
τὸ δὲ σῶμα† Χριστοῦ. 18 Μηδεὶς ὑμᾶς
καταβραβευέτω, θέλων ἐν ταπεινοφροσύνῃ
καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν‡
ἐμβατεύων, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς
τῆς σαρκὸς αὐτοῦ, 19 καὶ οὐ κρατῶν τὴν
κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα, διὰ τῶν
ἁφῶν§ καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ
συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ.

---

† **2:13** ημιν **f**35 ℵA,B,C [70%] RP,HF,OC,TR,CP,NU ¦ υμιν [30%] (some TRs) ‡ **2:14** ηρκεν **f**35 𝔓46ℵA,B,C [60%] RP,HF,TR,NU ¦ ηρεν [40%] OC,CP § **2:16** η **f**35 ℵA,C,I [98%] RP,HF,OC,TR,CP ¦ και 𝔓46B [2%] NU * **2:16** νουμηνιας *rell* ¦ νεομηνιας B [2%] NU † **2:17** σωμα **f**35 𝔓46 [95%] RP,HF,OC,CP ¦ 1 του ℵA,B,C [5%] TR,NU ‡ **2:18** μη εωρακεν **f**35 (83.5%) RP,HF,OC,TR,CP ¦ 1 εορακεν C (12.3%) ¦ 1 εωρακαμεν (1.7%) ¦ 1 εωρακως (0.5%) ¦ 1 εωρακατε (0.2%) ¦ ουκ 2 (0.3%) ¦ 2 𝔓46A (0.5%) ¦ εορακεν ℵB,I (1%) NU § **2:19** ἁφων *rell* ¦ ἀφων [25%]

20 Εἰ οὖν ἀπεθάνετε* σὺν† Χριστῷ ἀπὸ
τῶν στοιχείων τοῦ κόσμου, τί, ὡς ζῶντες
ἐν κόσμῳ, δογματίζεσθε 21 —«Μὴ ἅψῃ, μηδὲ‡
γεύσῃ, μηδὲ θίγῃς» 22 (ἅ ἐστιν πάντα εἰς
φθορὰν τῇ ἀποχρήσει) κατὰ τὰ ἐντάλματα καὶ
διδασκαλίας τῶν ἀνθρώπων; 23 Ἅτινά ἐστιν
λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ§
καὶ ταπεινοφροσύνῃ καὶ* ἀφειδίᾳ† σώματος,
οὐκ ἐν τιμῇ τινὶ πρὸς πλησμονὴν τῆς σαρκός.

# 3

*Things above vs things below*

1 Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω
ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν, ἐν δεξιᾷ τοῦ
Θεοῦ καθήμενος· 2 τὰ ἄνω φρονεῖτε, μὴ τὰ
ἐπὶ τῆς γῆς, 3 ἀπεθάνετε γὰρ καὶ ἡ ζωὴ ὑμῶν
κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ* Θεῷ. 4 Ὅταν
ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν,† τότε καὶ
ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.

5 Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν‡ τὰ ἐπὶ
τῆς γῆς· πορνείαν, ἀκαθαρσίαν, πάθος,

---

* **2:20** ουν απεθανετε $\mathbf{f}^{35}$ [80%] OC,TR ¦ 21 (א) [5%] ¦ 2 A,B,C [15%] RP,HF,CP,NU † **2:20** συν $\mathbf{f}^{35}$ אA,B,C [95%] RP,HF,CP,NU ¦ 1 τω [5%] OC,TR ‡ **2:21** μηδε $\mathbf{f}^{35}$ אA,B,C [90%] RP,HF,OC,TR,NU ¦ μη [10%] CP (Twice.) § **2:23** εθελοθρησκεια *rell* ¦ εθελοθρησκια אC [10%] OC,NU * **2:23** και $\mathbf{f}^{35}$ אA,C [98%] RP,HF,OC,TR,CP[NU] ¦ — 𝔓$^{46}$B [2%] † **2:23** αφειδια *rell* ¦ αφειδεια [10%] * **3:3** τω $\mathbf{f}^{35}$ 𝔓$^{46}$אA,B,C [80%] RP,HF,OC,TR,CP,NU ¦ — [20%] † **3:4** ημων $\mathbf{f}^{35}$ B [90%] RP,HF,OC,TR,CP ¦ υμων 𝔓$^{46}$אC [10%] NU ‡ **3:5** υμων $\mathbf{f}^{35}$ A [95%] RP,HF,OC,TR,CP ¦ — 𝔓$^{46}$אB,C [5%] NU

ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν ἥτις
ἐστὶν εἰδωλολατρία·§ 6 δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ
τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας,* 7 ἐν
οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε ὅτε ἐζῆτε
ἐν αὐτοῖς.† 8 Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ
πάντα—ὀργήν, θυμόν, κακίαν, βλασφημίαν,
αἰσχρολογίαν—ἐκ τοῦ στόματος ὑμῶν. 9 Μὴ
ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι
τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν
αὐτοῦ 10 καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν
ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα
τοῦ κτίσαντος αὐτόν, 11 ὅπου οὐκ ἔνι Ἕλλην
καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία,
βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος· ἀλλὰ
τὰ‡ πάντα καὶ ἐν πᾶσιν Χριστός.

### *Relationships among believers*

12 Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ,
ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ,§
χρηστότητα, ταπεινοφροσύνην, πρᾳότητα,*
μακροθυμίαν· 13 ἀνεχόμενοι ἀλλήλων καὶ
χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ†

---

§ **3:5** ειδωλολατρια **f**35 (C) [55%] OC,NU ¦ ειδωλολατρεια ℵA,B [45%] RP,HF,TR,CP * **3:6** επι τους υιους της απειθειας **f**35 ℵA(C)I [99%] RP,HF,OC,TR,CP[NU] ¦ — 𝔓46B [1%] † **3:7** αυτοις **f**35 048 [97%] RP,HF,OC,TR,CP ¦ τουτοις 𝔓46ℵA,B,C,I [3%] NU ‡ **3:11** τα **f**35 B [98%] RP,HF,OC,TR,CP[NU] ¦ — ℵA,C [2%] § **3:12** οικτιρμου **f**35 ℵA,B,C [80%] RP,HF,OC,CP,NU ¦ οικτιρμων [20%] TR * **3:12** πραοτητα **f**35 [97%] RP,HF,OC,TR,CP ¦ πραυτητα ℵA,B,C [3%] NU † **3:13** εχη *rell* ¦ εχει [10%] CP ¦ εχητε [2%]

μομφήν—καθὼς καὶ ὁ Χριστὸς‡ ἐχαρίσατο ὑμῖν,§
οὕτως καὶ ὑμεῖς· 14 ἐπὶ πᾶσιν δὲ τούτοις
τὴν ἀγάπην, ἥτις* ἐστὶν σύνδεσμος τῆς
τελειότητος.
15 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ† βραβευέτω ἐν ταῖς
καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ
σώματι· καὶ εὐχάριστοι γίνεσθε.
16 Ὁ λόγος τοῦ Χριστοῦ‡ ἐνοικείτω ἐν ὑμῖν
πλουσίως ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ
νουθετοῦντες ἑαυτούς, ψαλμοῖς καὶ§ ὕμνοις
καὶ* ᾠδαῖς πνευματικαῖς ἐν† χάριτι ᾄδοντες
ἐν τῇ καρδίᾳ‡ ὑμῶν τῷ Κυρίῳ.§
17 Καὶ πᾶν ὅ τι* ἂν† ποιῆτε ἐν λόγῳ ἢ
ἐν‡ ἔργῳ, πάντα ἐν ὀνόματι§ Κυρίου Ἰησοῦ,
εὐχαριστοῦντες τῷ Θεῷ καὶ* Πατρὶ δι᾽ αὐτοῦ.

### *Household relationships*

---

‡ **3:13** χριστος **f**35 C [97%] RP,HF,OC,TR,CP ¦ κυριος 𝔭46A,B,I [2%] NU ¦ θεος ℵ [1%] § **3:13** υμιν **f**35 ℵA,B [90%] RP,HF,OC,TR,NU ¦ ημιν [10%] CP ¦ ημας C * **3:14** ητις **f**35 [97%] RP,HF,OC,TR,CP ¦ ο A,B,C,048 [2%] NU ¦ ος ℵ [1%] † **3:15** θεου **f**35 (95.2%) RP,HF,OC,TR,CP ¦ χριστου ℵA,B,C,I (4.8%) NU ‡ **3:16** χριστου *rell* ¦ θεου A,C [9%] ¦ κυριου ℵ,I [1%] § **3:16** και **f**35 Av,Iv [97%] RP,HF,OC,TR,CP ¦ — ℵB,C [3%] NU * **3:16** και **f**35 A,Iv [97%] RP,HF,OC,TR,CP ¦ — ℵB,C [3%] NU † **3:16** εν **f**35 ℵA,C [95%] RP,HF,OC,TR,CP ¦ 1 τη 𝔭46B [3%] [NU] ¦ — [2%] ‡ **3:16** τη καρδια **f**35 [95%] RP,HF,OC,TR,CP ¦ ταις καρδιαις 𝔭46ℵA,B,C [5%] NU § **3:16** κυριω **f**35 [96%] RP,HF,OC,TR,CP ¦ θεω 𝔭46vℵA,B,C [4%] NU * **3:17** ὅ τι **f**35 ℵA,B,C [80%] RP,HF,OC,TR,NU ¦ ὅτι [20%] CP † **3:17** αν **f**35 ℵA,C [97%] RP,HF,OC,TR,CP ¦ εαν 𝔭46B [3%] NU ‡ **3:17** εν *rell* ¦ — [10%] § **3:17** ονοματι *rell* ¦ 1 του [10%] * **3:17** και **f**35 [98%] RP,HF,OC,TR,CP ¦ — 𝔭46vℵA,B,C [2%] NU

18 Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις†
ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ.
19 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας καὶ μὴ
πικραίνεσθε πρὸς αὐτάς.
20 Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν κατὰ
πάντα, τοῦτο γάρ ἐστιν εὐάρεστον‡ ἐν§ Κυρίῳ.
21 Οἱ πατέρες, μὴ ἐρεθίζετε* τὰ τέκνα ὑμῶν,
ἵνα μὴ ἀθυμῶσιν.
22 Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς
κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλίαις†
ὡς ἀνθρωπάρεσκοι, ἀλλ᾽ ἐν ἁπλότητι
καρδίας, φοβούμενοι τὸν Θεόν.‡ 23 Καὶ πᾶν
ὅ τι§ ἐὰν* ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς
τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις, 24 εἰδότες
ὅτι† ἀπὸ Κυρίου λήψεσθε‡ τὴν ἀνταπόδοσιν

---

† **3:18** ιδιοις **f**[35] [80%] RP,HF,TR ¦ — אA,B,C [19%] OC,CP,NU ¦ υμων after ανδρασιν [1%] ‡ **3:20** εστιν ευαρεστον **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ 21 אA,B,C [5%] NU § **3:20** εν **f**[35] אA,B,C [79%] RP,HF,CP,NU ¦ τω [20%] OC,TR ¦ — [1%] * **3:21** ερεθιζετε **f**[35] 𝔭[46]B (79.5%) RP,HF,OC,TR,CP,NU ¦ παροργιζετε (א)A(C) (19.8%) ¦ four other readings (0.7%) † **3:22** οφθαλμοδουλιαις **f**[35] אC [40%] OC ¦ οφθαλμοδουλειαις [43%] RP,HF,TR,CP ¦ οφθαλμοδουλια [10%] NU ¦ οφθαλμοδουλεια 𝔭[46]A,B [5%] ¦ οφθαλμοδουλειαι [2%] ‡ **3:22** θεον **f**[35] 𝔭[46] [90%] RP,HF,OC,TR,CP ¦ κυριον אA,B,C,048 [10%] NU § **3:23** και παν ὅ τι **f**[35] (79.3%) RP,HF,OC,TR,CP ¦ 123 (10.4%) ¦ 234 (1.3%) ¦ 134 (0.5%) ¦ 23 (2.2%) ¦ 12 οτε (0.8%) ¦ 3 𝔭[46]אA,B,C (4.7%) NU ¦ four other readings (0.8%) (Perhaps some 20% evidently have ὁτι instead of ὅ τι.) * **3:23** εαν **f**[35] אA,B,C (79.9%) RP,HF,OC,TR,CP,NU ¦ αν 𝔭[46] (19.1%) ¦ — (1%) † **3:24** οτι *rell* ¦ — CP ‡ **3:24** ληψεσθε **f**[35] 𝔭[46](A) [80%] RP,HF ¦ αποληψεσθε (אB,C[V]) [20%] OC,TR(NU) ¦ αποληψεσθαι CP ¦ one other variant

τῆς κληρονομίας· τῷ γὰρ§ Κυρίῳ Χριστῷ
δουλεύετε. 25 (Ὁ δὲ* ἀδικῶν κομιεῖται† ὃ
ἠδίκησεν, καὶ οὐκ ἔστιν προσωποληψία.)‡

# 4

1 Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς
δούλοις παρέχεσθε,* εἰδότες ὅτι καὶ ὑμεῖς
ἔχετε Κύριον ἐν οὐρανοῖς.†

*Redeem the time*

2 Τῇ προσευχῇ προσκαρτερεῖτε,
γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ,
3 προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα
ὁ Θεὸς ἀνοίξῃ‡ ἡμῖν θύραν τοῦ λόγου,
λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ (δι᾽ ὃ
§ καὶ δέδεμαι), 4 ἵνα φανερώσω αὐτό, ὡς
δεῖ με λαλῆσαι. 5 Ἐν σοφίᾳ περιπατεῖτε
πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι.
6 Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι
ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ
ἀποκρίνεσθαι.

## Concluding remarks

7 Τὰ κατ᾽ ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικός,
ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος

---

§ **3:24** γαρ **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ — 𝔭[46]ℵA,B,C [5%] NU * **3:25** δε **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ γαρ ℵA,B,C [5%] NU † **3:25** κομιειται **f**[35] ℵA,C [95%] RP,HF,OC,TR,CP ¦ κομισεται B [5%] NU ‡ **3:25** προσωποληψια *rell* ¦ προσωπολημψια ℵA,B,C [5%] NU * **4:1** παρεχεσθε **f**[35] ℵA,B [80%] RP,HF,OC,TR,NU ¦ παρεχετε C [18%] CP ¦ παρεσχεσθε [2%] † **4:1** ουρανοις **f**[35] [97%] RP,HF,OC,TR,CP ¦ ουρανω ℵA,B,C,I [3%] NU ‡ **4:3** ανοιξη *rell* ¦ 1 και CP § **4:3** δι ὃ *rell* ¦ διο [20%]

καὶ σύνδουλος ἐν Κυρίῳ, 8 ὃν ἔπεμψα πρὸς
ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ* τὰ περὶ ὑμῶν†
καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν, 9 σὺν
Ὀνησίμῳ, τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς
ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσιν‡ τὰ
ὧδε.§
10 Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος, ὁ
συναιχμάλωτός μου, καὶ Μᾶρκος ὁ ἀνεψιὸς
Βαρνάβα (περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ
πρὸς ὑμᾶς δέξασθε αὐτόν), 11 καὶ Ἰησοῦς ὁ
λεγόμενος Ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς
οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ
Θεοῦ· οἵτινες ἐγενήθησάν μοι παρηγορία.
12 Ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς, ὁ ἐξ ὑμῶν,
δοῦλος Χριστοῦ,* πάντοτε ἀγωνιζόμενος ὑπὲρ
ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε† τέλειοι
καὶ πεπληρωμένοι‡ ἐν παντὶ θελήματι τοῦ

---

* **4:8** γνω **f**[35] 𝔭[46]C (87.6%) RP,HF,OC,TR,CP ¦ γνωτε אA,B,048 (10.9%) NU ¦ γνωται (1%) ¦ — (0.5%) † **4:8** υμων **f**[35] 𝔭[46]אC (88.1%) RP,HF,OC,TR,CP ¦ ημων A,B,048 (11.4%) NU ¦ — (0.5%) ‡ **4:9** γνωριουσιν **f**[35] אA,C [97%] RP,HF,OC,TR,CP ¦ γνωρισουσιν 𝔭[46]B [3%] NU § **4:9** ὧδε *rell* ¦ ὦ̃δε **f**[35] [40%] (I include this information for the record, and so as not to lose sight of it; since there is no contrast in meaning here, and I am not aware that the Autographs contained 'breathing' marks, I stay with the conventional spelling. However, it may be noted that the difference between ᾧ δε and ὦ̃δε would be indistinct in most MSS; the simple expedient reflected in **f**[35] resolves the ambiguity.) * **4:12** χριστου **f**[35] 𝔭[46] [95%] RP,HF,OC,TR,CP ¦ 1 ιησου אA,B,I [4%] [NU] ¦ ιησου 1 C [1%] † **4:12** στητε **f**[35] A,C [97%] RP,HF,OC,TR,CP ¦ σταθητε אB [1%] NU ¦ ητε I [2%] ‡ **4:12** πεπληρωμενοι **f**[35] 𝔭[46] [97%] RP,HF,OC,TR,CP ¦ πεπληροφορημενοι אA,B,C [3%] NU

Θεοῦ. 13 Μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον
πολὺν§ ὑπὲρ ὑμῶν, καὶ τῶν ἐν Λαοδικείᾳ καὶ
τῶν ἐν Ἱεραπόλει.

14 Ἀσπάζεται ὑμᾶς Λουκᾶς, ὁ ἰατρὸς ὁ
ἀγαπητός, καὶ Δημᾶς. 15 Ἀσπάσασθε τοὺς ἐν
Λαοδικείᾳ* ἀδελφούς, καὶ Νυμφᾶν καὶ τὴν
κατ᾽ οἶκον αὐτοῦ† ἐκκλησίαν.

16 Καὶ ὅταν ἀναγνωσθῇ παρ᾽ ὑμῖν ἡ
ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων‡
ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας
ἵνα καὶ ὑμεῖς ἀναγνῶτε.

17 Καὶ εἴπατε Ἀρχίππῳ, «Βλέπε τὴν
διακονίαν ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν
πληροῖς.»

## Sign-off

18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρί· Παύλου.
Μνημονεύετέ μου τῶν δεσμῶν. Ἡ χάρις

§ **4:13** ζηλον πολυν **f**35 [95%] RP,HF,OC,TR,CP ¦ 2 πονον אA,B,C [4%] NU ¦ four other readings [1%] * **4:15** λαοδικεια *rell* ¦ λαοδικια אA,C [10%] † **4:15** αυτου **f**35 [92%] RP,HF,OC,TR,CP ¦ αυτων אA,C [6%] ¦ αυτης B [1%] NU ¦ — [1%] ‡ **4:16** λαοδικεων **f**35 B [85%] HF,OC,TR,NU ¦ λαοδικαιων אA,C [15%] RP,CP

μεθʼ ὑμῶν. Ἀμήν.§,*

§ **4:18** αμην **f**[35] [95%] RP,HF,OC,TR,CP ¦ — ℵA,B,C,048 [5%] NU

* **4:18** The citation of **f**[35] is based on thirty-seven MSS—18, 35, 201, 204, 328, 386, 394, 444, 604, 757, 824, 928, 986, 1072, 1075, 1100, 1248, 1249, 1503, 1548, 1637, 1725, 1732, 1761, 1768, 1855, 1864, 1865, 1876, 1892, 1897, 2080, 2352, 2466, 2554, 2587 and 2723—all of which I collated myself. 18, 444, 1732, 1864, 2554 and 2723 are 'perfect' representatives of **f**[35] in Colossians, as they stand, as were the exemplars of another eight. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception. In the statements of evidence I have included the percentage of manuscript attestation for each variant, within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I had to revert to von Soden and the apparatus of N-A[27], supplementing from other sources where possible (Scrivener and Tischendorf)—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources. I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±1%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±3%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%. However, I guarantee the witness of Family 35. Please see the last footnote for Matthew for further information.

# Η Καινή Διαθήκη
## The Greek New Testament According to Family 35, Wilbur Pickering

Copyright © 2020 Wilbur N. Pickering

Language: Ελληνική (Greek, Ancient)

Dialect: Koine

Contributor: Dwayne Green, Robert A. Boyd

This translation is made available to you under the terms of the Creative Commons Attribution-Noncommercial-No Derivatives license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:

You include the above copyright and source information.

You do not sell this work for a profit.

You do not change any of the words or punctuation of the Scriptures.

Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.

2022-10-28

---

PDF generated using Haiola and XeLaTeX on 11 Nov 2022 from source files dated 11 Nov 2022
cf64fb6f-e463-5ebb-820f-5a4a7bb37b73